# TEZAUR LITURGIC

## 26 NOIEMBRIE

## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.CUVIOS STELIAN DIN PAFLAGONIA

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 26 ΝΟΕΜΒΡΙΟΥ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΤΥΛΙΑΝΟΥ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Ψαλμός ρμβ΄ (142)

Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ἅ΄. Ἐξομολογεῖσθε τῷ Κυρίω, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Στίχος β΄. Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχος γ΄. Παρά Κυρίου ἐγένετο αὔτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ΄. Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῷ.
Ὡς αὐτουργός τῶν θεοδότων θαυμάτων, καί ἀρωγός τῶν νεογνῶν καί νηπίων, Στυλιανέ Πάτερ ἡμῶν, θεράπον τοῦ Χριστοῦ, εὐτεκνοῦσαν ποίησον, τάς ἀτέκνους μητέρας, καί ἀεί περίθαλπε, τά ἀρτίτοκα βρέφη, σύ γάρ πλούσια χάριν ἐκ Θεοῦ, πρός τοῦτο ἔσχες ἀσκήσας ὡς ἄγγελος.
Θεοτοκίον.
Οὐ σιωπήσομεν πότε, Θεοτόκε, τά, δυναστείας σου λαλεῖν οἱ ἀναξιοι• εἰ μή γάρ σύ προίστασο

πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ• σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμός ν΄ (50)

Εἶτα ψάλλομεν τάς Ὠδᾶς τοῦ Κανόνος.
Ὠδή ἅ΄. Ἦχος πλ. δ΄. Ὑγρᾶν διοδεύσας.
Στειρώσεως πέδας Στυλιανέ, τῶν προσπελαζόντων, τή θερμή σου ἐπισκοπῆ, διαλυσον πάτερ ταῖς εὐχαίς σου, καί τῶν πταισμάτων ἐξαίτει τῆς ἄφεσιν.
Ὑφάπλωσον Πάτερ ὡς συμπαθής, τῆς σῆς προμήθειας τάς ἀκτίνας τάς τηλαυγεῖς, καί θάλψον καί σκέπασον ἀΰλως, τά τιθηνούμενα νήπια ὅσιε.
Ἐκτόπων μολύνσεων καί παθῶν, δυσπραγίας πάσης καί παντοίων ἀσθενειῶν, ἀτρώτους τους παίδας ἡμῶν τήρει, Στυλιανέ, ὥσπερ ἄγαν φιλοστρογος.
Ἰσχύς μου καί ὕμνησις καί ζωή, χαρά καί φαιδρότης, ὁδηγία καί ἀρωγή, σύ εἰ θεοχώρητε Παρθένε, διό ἀεί μέ περίεπε Ἄχραντε.

Ὠδή γ΄. Σύ εἰ τό στερέωμα
Σύ εἰ βοήθεια, Στυλιανέ καί περίθαλψις, καί ἰατρός, τῶν νεογεννήτων. Ὅθεν ταῦτα διάσωζε.
Τίς σου τά θαυμάσια, ἐξαριθμήσεται Ὅσιε; Σύ γάρ ἡμᾶς, νόσων καί κίνδυνων, ἐκλυτροῦσαι ἑκάστοτε.
Ὕδατι καταρδευσον, τῆς νοητῆς εὐλογίας σου, τά

νεογνά, τῶν παρακαλούντων, θεοφόρε τήν χάριν σου. Λάμψον μοί, πᾶν ἄμωμε, φῶς μετανοίας γλυκύτατον, τῷ ἐν νυκτί, παθῶν ἀκαθάρτων, πανωδυνως προσκόπτοντι.

Διασωσον Στυλιανέ θεοφόρε, τούς σούς οἰκέτας, ἀπό πάσης ἐπιφορᾶς καί κακώσεως, καί τά ἀρτίτοκα βρέφη ἀεί εὐλόγει.
Ἐπιβλεψον ἐν εὐμενεία Πανύμνητε Θεοτόκε, ἐ πῖ τήν ἐμήν χαλεπήν του σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Αἴτησις καί τό κάθισμα. Ἦχος β΄. Πρεσβεία θέρμη
Πολλῶν δωρεῶν, δοτήρ ἀφθονοπάροχος, τή θεία ροπή Στυλιανέ δεικνύμενος, τροφεύς νηπίων ἄριστος καί λαμπρός κηδεμών πεφανέρωσαι, τρέφων καί αὔξων αὐτά μυστικῶς, ἄφθονου χρηστότητος τῷ γάλακτι.

Ὠδή δ΄. Εἰσακήκοα Κύριε
Ἱλαρῷ σου ἐν ὄμματι, τοῖς πάσιν ἀΰλως ἐπιφαινόμενος, χαρμονῆς καί ἱλαρότητος, τῆς ἐπουρανίου ταῦτα πλήρωσον.
Ἀσθενοῦντας θεράπευσον, καί κακουχουμένους κούφισον Ὅσιε, καί παθῶν ξήρανον βόρβορον, ὡς θαυμάτων κρήνη ἀνεξάντλητος.
Νεογνῶν καί νηπίων σέ, μέγαν ἀρωγόν ἡ χάρις ἀνέδειξεν, ὅθεν ταῦτα διαφύλαττε, ὦ Στυλιανέ

θεομακάριστε.
Ἐκ νηδύος Ἥλιος, τῆς δικαιοσύνης Κόρη ἀνέτειλε, οὐ ταῖς αἴγλαις καμὲ φώτισον, ταῖς αὐτοῦ ἀκτίσιν ὁδηγοῦσα μέ.

Ὠδή ε΄. Φώτισον ἡμᾶς
Βρέφη ἁπαλά καί ἀρτίτοκα βλαστήματα, ἀοράτως ἐπιστᾶς Στυλιανέ, ἀπό πάσης ἐπήρειας περισκέπασον.
Ρῶσιν ψυχικήν καί σωμάτων δός τήν ἴασιν, ἐνεργεία τῆς ἐνθέου δωρεᾶς, τοῖς προστρέχουσι τή σκέπη σου Πατήρ ἡμῶν.
Εὕροιμι φρουρόν, καί θερμόν σέ ἀντιλήπτορα. Ἐν ποικίλαις δυσχερείαις ἀληθῶς, τῶν δεινῶν Στυλιανέ μέ ἑξαιρούμενον.
Φώτισον ἡμᾶς, τή τῆς Σῆς μεγαλειότητος, φοταυγεία καί ἀΰλω ἀστραπή, Μαριάμ εὐλογημένη κοσμοπόθητε.

Ὠδή ς΄. Τήν δέησιν ἐκχεῶ
Ὡς ἥλιος, νοερῶς ἀστράπτουσα, ἡ ἁγία σου Εἰκών καθορᾶται, καί μυστικαῖς θεοφόρε ἀκτίσι τά νεογέννητα θάλπει ἑκάστοτε, καί θαυμαστῶς ζωογονεῖ, τῶν ἀνήβων τόν εὔχαριν ὅμιλον.
Νεότητος, παιδοτρίβην ἔνθεον, καί τοῦ γήρως ἀληθῆ βακτηρίαν, Στυλιανέ, ἐγνωκότες σέ πάτερ, συντετριμμένη ψυχή ἐκβοῶμεν σοί• μή διαλίπης ἐφόρων, καί διέπων ἡμᾶς πρός τά κρείττονα.

Φαιδρότατα, θαλερά καί εὔρωστα, καί χαρίεντα τή σή προμήθεια, τά νεογέννητα ἔργασαι βρέφη, πᾶν σκυθρωπόν καί νοσῶδες καί ἄχαρι, ἀποδιώκων ἐξ αὐτῶν, συμπαθέστατε πάτερ δεόμεθα.
Ὑψώσασα, ἐκ κακίας λάκκον μέ, Ὑψηλότατε, τοῦ Κτίσαντος θρόνε, Εὐλογημένη Ἁγνή Θεοτόκε, πρός νοητᾶς ἀναβάσεις καί χάριτας, ἀνέλκυσόν μου τήν ψυχήν, καί δεινῶν μέ προλήψεων κάθαρον.

Διασωσον Στυλιανέ θεοφόρε, τούς σούς οἰκέτας, ἀπό πάσης ἐπιφορᾶς καί κακώσεως, καί τά ἀρτίτοκα βρέφη ἀεί εὐλόγει.
Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱματῶν σου
Τῶν ἰαμάτων κρουνός ἀνεξάντλητος, καί τῶν νήπιων προστάτης θερμοτατος, Στυλιανέ ὑπάρχων μακάριε, ἐκ πολυτρόπων κίνδυνων ἀπάλλαξον, τούς πόθω καλοῦντας τήν κλῆσιν σου.

Καί εὐθύς τό Προκείμενον
Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχος. Τί ἀνταποδώσω μέν τῷ Κυρίω περί πάντων ὧν ἀνταπέδωκεν ἡμίν

Εὐαγγέλιον. Ἐκ τοῦ κατά Λουκᾶν (Κέφ. ϛ΄ 17-23)
Τῷ καιρῷ ἐκείνω ἔστη ὁ Ἰησοῦς ἐπί τόπου πεδινοῦ, καί ὄχλος μαθητῶν αὐτοῦ καί πλῆθος πολύ του λαοῦ ἀπό πάσης της Ἰουδαίας καί Ἱερουσαλήμ καί τῆς παραλίου Τύρου καί Σιδῶνος, οἵ ἦλθον ἀκοῦσαι αὐτοῦ καί ἰαθῆναι ἀπό τῶν νόσων αὐτῶν, καί οἱ ὀχλούμενοι ὑπό πνευμάτων ἀκαθάρτων, καί ἐθεραπεύοντο. Καί πᾶς ὁ ὄχλος ἐζήτει ἀπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καί ἰάτο πάντας. Καί αὐτός ἐπάρας τούς ὀφθαλμούς αὐτοῦ εἰς τούς μαθητᾶς αὐτοῦ ἔλεγε. Μακάριοι οἱ πτωχοί ὅτι ὑμετέρα ἐστίν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν ὅτι χορτασθήσεσθαι. Μακάριοι οἱ κλαίοντες νῦν ὅτι γελάσετε. Μακάριοι ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καί ὅταν ἀφορίσωσιν ὑμᾶς καί ὀνειδίσωσι καί ἐκβάλωσι τό ὄνομα ὑμῶν ὡς πονηρόν ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνη τή ἡμέρα καί σκιρτήσατε, ἰδού γάρ ὁ μισθός ὑμῶν πολύς ἐν τῷ οὐρανῷ.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ταῖς τού σου Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος: Ἐλεῆμον, ἐλέησον μέ ὁ Θεός κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

Καί τό παρόν Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι
Ἄνωθεν ἐπινευσον, καί δυσωπήθητι Πάτερ, θερμῶς ἐπικλώμενος, τῶν παρακαλούντων σέ ταῖς δεήσεσι, καί βρεφῶν Ὅσιε, τῶν ἀρτιγεννήτων, τά φλογώδη ἀρρωστήματα, ἐπιθεράπευσον, χάριν καί ὑγείαν δωρούμενος, αὐτοῖς ὡς συμπαθέστατος, τοῖς θεοδωρήτοις φαρμάκοις σου, ὅπως αὐξηθέντα, εἰς μέτρον ἡλικίας ἀληθοῦς, Στυλιανέ μεγαλύνωσι, τόν Σέ μεγαλύναντα.

Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας
Λοιμικῶν νοσημάτων, ρυπαρῶν μολυσμάτων καί ἀκαθάρτων παθῶν, καί πάσης ἀθυμίας, καί βλάβης καί μανίας, τούς βοώντας διάσωζε, σέ ὑμνοῦμεν ἀεί, Στυλιανέ, τρισμάκαρ.
Ἀρωγόν σέ νηπίων, βραβευτήν σέ ἀνήβων, καί μειρακίων φρουρόν, ἀτέκνων ἰατήρα, εὐτέκνων προμηθέα, ὁ Χριστός ἀπειργάσατο, Στυλιανέ ἱερέ, τή σή λαμπρά ἀσκήσει.
Ξενοτρόπων θαυμάτων, πολλαπλῶν ἰαμάτων καί θεϊκῶν δωρεῶν, τό ὕδωρ ἀναβλύζων, τήν κάμινον σβεννύεις, συμφορῶν τέ καί θλίψεων, καί ἀναψύχεις τερπνῶς, ἡμῶν τάς διανοίας.

Γαληνόμορφε Κόρη, τῆς ψυχῆς μου τήν λύπην καί τήν πίκρα συνοχήν, μετάβαλε αἰσίως, εἰς θείαν εὐφροσύνην, καί προφθάσασα ρύσαι μέ, τήν κραταιά σου χειρί ἀνάγκης ἐνεστώσης.

Ὠδή ή΄. Τόν Βασιλέα
Εὐτέκνους Πάτερ, τάς ἀτεκνούσας μητέρας, τή ταχεία σου ἀπέργασαι πρεσβεία, σοί γάρ ὁλοψύχως Στυλανέ φοιτῶσι.
Ρέουσα χάριν ἡ παναγία Εἰκών σου, τή τοῦ Πνεύματος ἐπισκιάσει Πάτερ, τρέφει καί ἐφραίνει τά νεογνά καί βρέφη.
Ἀγγελομόρφω ἐπιφανεῖς θεωρία, ἐπί ψελλίζοντα ταῖς μητρικαῖς ἀγκάλαις, πλήρωσον θεοφρον, χαρᾶς καί θυμηδίας.
Σωματικῶν μέ, καί ψυχικῶν ἀλγηδόνων, ἀπολύτρωσαι ὑπερευλογημένη, τή δέ ἐπελθούση, βοήθει μοί ἀνάγκη.

Ὠδή θ΄. Κυρίως Θεοτόκον
Ἰάτρευσον τάς νόσους, τῶν ὑπομαζίων, καί ψελλιζόντων νήπιων Πατήρ ἡμῶν, τοῖς τῶν μητέρων δακρύοις ἐπικαμπτόμενος.
Μαράνας πάσαν βλάβην, τήν νηπιοφθόρον, καί θαλερά καί ἀκμάζοντα τήρησον, τά τῶν ἀκάκων νηπίων Πάτερ συστήματα.
Ὀδύνης μοί σύμβασης, καί δεινῆς ἀνίας, ἐκ πονηρᾶς συνήθειας καί πράξεως, Στυλιανέ Θεοφόρε σπεῦσον

καί ρύσαι μέ.
Ὑψόθεν ἐνωτίζου, Κεχαριτωμένη, τόν στεναγμόν τῆς ψυχῆς μου τόν μύχιον, καί τήν εὐρούση μέ θλίψει μή ὑπερίδης μέ.

Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

Μεγαλυνάρια.
Ὤφθης ἐκ κοιλίας τῆς μητρικῆς, καθηγιασμένος, ὡς ὁ ἔνδοξος Σαμουήλ, καί δοτός ἐδείχθης δί' ἐναρέτου βίου, Στυλιανέ παμμάκαρ τῷ σέ δοξάσαντι.
Χαίροις ἐγκρατείας ὑφηγητής, καί τῆς ἀπαθείας, ἐνδιαίτημα ἱερόν, χαίροις τῶν Ὁσίων ὁ τύπος ἐν ἀσκήσει, Στυλιανέ Ἀγγέλοις ὁ ὁμοδίαιτος.
Φύλαξ καί προστάτης καί προμηθεύς, τῶν ἀρτιγεννήτων, καί νηπίων καί τῶν βρεφῶν, πέλων θεοφόρε, τή θεία ἐπιπνοία, ἐκ πάσης ἐπήρειας ταῦτα διάσωζε.
Ἴδε τῶν μητέρων τούς στεναγμούς, κάμφθητι θεοφρον, τῶν προσφυγῶν σου ταῖς φωναῖς, καί τά τοῦτον τέκνα, μανίας ὀλέθριου, Στυλιανέ τρισμάκαρ, σπεῦσον καί λύτρωσαι.
Ὡς ἄνθη θαλερώτατα καί τερπνά, ὄψεως εὐχροία, καί

ἀκάκοις τρόποις σοφέ, ἡμῶν τά παιδιά, συντήρει ἀοράτως, Στυλιανέ παμμάκαρ, τῶν εὐφημούντων σέ.
Ἔχων παρρησίαν πρός τόν Χριστόν, Ὅσιε τρισμάκαρ, μή ἐλλίπης ἐκδυσωπῶν, ὑπέρ τῶν αἰτούντων, τήν σήν ἐπικουρίαν, ὡς ἄν ἁπαλλαγῶμεν πάσις στενώσεως.
Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ Δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τῷ σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον
Καί τό τροπάριον Ἦχος γ΄
Στήλη ἔμψυχός της ἐγκρατείας στύλος ἄσειστός της Ἐκκλησίας, Στυλιανέ ἀνεδείχθης μακάριε, τόν γάρ σόν πλοῦτον σκορπίσας τοῖς πένησιν, ἐν οὐρανοῖς ἐκομίσω τόν ἄφθαρτον, καί ἐγκρατεία καί πόνοις πανόλβιε, χάριν εἴληφας, νηπίων προστάτης γενόμενος, καί φύλαξ νεογνῶν ἀπροσμάχητος.

Ὁ Ἱερεύς μνημονεύει τῶν ὑπέρ ὧν ἡ Παράκλησις.
Καί ἐν τή Ἀπολύσει τό παρόν προσόμοιον.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου
Παίδων καί νήπιων καί βρεφῶν, μέγας κηδεμών καί προστάτης, καί ἀληθής ἰατρός, Πνεύματος τή χάριτι, ἀποδεικνύμενος, μαρασμῶν καί κακώσεων, καί νόσων ποικίλων, ἄτρωτα διάσωζε τά ἀρτιγέννητα, ταῦτα εὐλογῶ ν καί διέπων, ὅπως ἀνδρωθῶσιν αἰσίος, ὦ Στυλιανέ θεομακάριστε.